# 30 SEPTEMBRIE GHERASIMOS MIKRAGHIANANITUL

# SLUJBA SOBORULUI SF.OLIMPULUI BITINIEI



MINEIUL PE SEPTEMBRIE-GR


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# ΑΚΟΛΟΥΘΙΑ ΠΑΝΤΩΝ ΤΩΝ ΕΝ ΤΩ ΟΛΥΜΠΩ ΤΗΣ ΒΙΘΥΝΙΑΣ ΟΣΙΩΝ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

*Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια. Ἦχος δ΄. Ἔδωκας σημείωσιν.*

Δῆμος θεοσύλλεκτος, χορὸς Ὁσίων ὑπέρτιμος, ἐν Ὀλύμπῳ διέλαμψεν, ἀσκήσεως σκάμμασι, τῷ τῆς Βιθυνίας, καὶ Θεὸν δοξάσας, καὶ ἐπαξίως δοξασθείς, μιᾷ ἡμέρᾳ ὁμοῦ γεραίρονται· οἷς πίστει ἐκβοήσωμεν, θεομακάριστοι Ὅσιοι, οἱ γνωστοὶ καὶ ἀνώνυμοι, ὑπὲρ πάντων πρεσβεύσατε.

Κόσμου τὴν τερπνότητα, ἔρωτι θείῳ πτερούμενοι, νουνεχῶς καταλείψαντες, προθύμως ἐσπεύσατε, ὄρει τοῦ Ὀλύμπου, Ὅσιοι Πατέρες, καὶ δι' ἀσκήσεως στεῤῥᾶς, σαρκὸς νεκρώσαντες ἅπαν φρόνημα, ζωὴν τὴν ἀτελεύτητον, περιφανῶς ἐκληρώσασθε, τῷ Σωτῆρι πρεσβεύοντες, ἡμῖν δοῦναι συγχώρησιν.

Ἄστρα ὡς πολύφωτα, τῆς Βιθυνίας ὁ Ὄλυμπος, ὑμᾶς κόσμῳ προβάλλεται, Πατέρες μακάριοι, ἐν αὐτῷ γὰρ πάντες, χρόνοις διαφόροις, ἀσκήσει λάμψαντες στεῤῥᾷ, ποικίλοις θαύμασιν ἐδοξάσθητε, καὶ σκεύη καθαρώτατα, τῆς ἐνεργείας τοῦ Πνεύματος καὶ λαμπάδες ἀείφωτοι, εὐσεβείας ἐδείχθητε.

Ἄγγελοι ἐν σώματι, ὡς ἀληθῶς ἀνεδείχθητε, δι' ἀγώνων ἀσκήσεως, καὶ στῦλοι πυρίμορφοι, αἴγλης οὐρανίου, Ὅσιοι Πατέρες, ὄρους Ὀλύμπου οἰκηταί, καὶ νῦν Ἀγγέλων δῆμος

συνήφθητε, καὶ πόνων τὴν ἀντίδοσιν, παρὰ Χριστοῦ κομιζόμενοι, ἐκτενῶς δυσωπήσατε, ἡμᾶς σώζεσθαι ἅπαντας.

*Δόξα. Ἦχος δ΄.*

Τῆς θείας ἀγάπης τὸ πῦρ δεξάμενοι, τὸν ζυγὸν τοῦ Χριστοῦ ἐπ' ὤμων ἤρατε, πᾶν ἄχθος ὑλικὸν ἀποῤῥίψαντες, καὶ ἑαυτοὺς ἀρνησάμενοι. Καὶ τῆς ἀσκητικῆς ζωῆς ἐργάται γενόμενοι, Ὀλύμπου τὸ ὄρος ἡγιάσατε, ὁσίοις ὑμῶν πόνοις, καὶ καμάτοις καὶ ἱδρῶσιν, Ὅσιοι Πατέρες μακάριοι. Καὶ νῦν τῆς ἄνω ζωῆς ἀξίως λαβόμενοι, μὴ παύσησθε πρεσβεύοντες, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἐκ παντοίων κινδύνων τοὺς δούλους Σου φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα Σὲ δοξάζομεν τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

*Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Ὅμιλος ἱερός, Ὁσίων θεοφόρων, Ὀλύμπου Βιθυνίας, θεοειδεῖς πολῖται, συμφώνως ἀνυμνείσθωσαν.

Στ.: *Καυχήσονται Ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.*

Χαίροις τῶν ἀσκητῶν, ὑπέρτιμε χορεία, ἡ πᾶσαν Βιθυνίαν, ἐκ τοῦ Ὀλύμπου ὄρους, οἷα πυρσοὶ λαμπρύνοντες.

Στ.: *ᾌσατε τῷ Κυρίῳ ᾆσμα καινόν.*

Πόνοις ἀσκητικοῖς, νεκρώσαντες τὴν σάρκα, Πατέρες θεοφόροι, ἐδέξασθε θεόθεν, ζωοποιὸν ἐνέργειαν.

*Δόξα. Τριαδικόν.*

Ἄναρχε παντουργέ, ὑπέρθεε Θεότης, Πάτερ Υἱὲ καὶ Πνεῦμα, ἐλέησον τὸν κόσμον, πρεσβείαις τῶν Ὁσίων Σου.

*Καὶ νῦν. Θεοτοκίον.*

Πρέσβευε τῷ ἐκ Σοῦ, ἀφράστως προελθόντι, σὺν τοῖς Ὁσίοις Κόρη, δοθῆναι ἡμῖν πᾶσιν , ἁμαρτημάτων ἄφεσιν.

*Νῦν ἀπολύεις. Τρισάγιον. Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Τοὺς ἐν ὄρει Ὀλύμπῳ Βιθυνίας ἐκλάμψαντας, δι' ἀσκητικῆς πολιτείας, διαφόροις ἐν ἔτεσιν, Ὁσίους θεοφόρους ἀσκητάς, γνωστοὺς καὶ ἀνωνύμους ἐν ᾠδαῖς, ἀνυμνήσωμεν ὡς σκεύη τῶν ἀρετῶν, ἀπὸ ψυχῆς κραυγάζοντες· δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι δι' ὑμῶν, πᾶσιν ἰάματα

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

*Ἀπόλυσις.*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Μετὰ τὸν Προοιμιακόν, τό *Μακάριος ἀνήρ.* Εἰς δὲ τό *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Ὁσίων χορὸς θεοειδής, ἐν Ὀλύμπῳ ἔλαμψε, τῆς Βιθυνίας βιώσαντες, καθάπερ Ἄγγελοι, οὓς μιᾷ ἡμέρᾳ, πάντας ἀνυμνήσωμεν, ὡς σκεύη οὐρανίων ἐλλάμψεων, αὐτοῖς κραυγάζοντες· θεοφόροι παμμακάριστοι, δυσωπεῖτε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Λιπόντες πατρίδας καὶ στοργήν, κόσμου ἀπωσάμενοι, ἀσκητικῶς ἠγωνίσασθε, Πατέρες Ὅσιοι, ἐν Ὀλύμπου ὄρει, διαφόροις ἔτεσι, καὶ πλείστοις δωρεαῖς καὶ χαρίσμασιν, ἐμεγαλύνθητε, ὡς Θεοῦ θεῖοι θεράποντες, καὶ ἁπάσης, ἀρετῆς κειμήλια.

Τὸν νοῦν ἀνυψοῦντες πρὸς Θεόν, βίον ὑπερκόσμιον, μετὰ σαρκὸς διηνύσατε, Πατέρες Ὅσιοι, θεῖοι Ἱεράρχαι, Ἀσκηταὶ καὶ Μάρτυρες, γνωστοί τε καὶ ἀνώνυμοι ἅπαντες, τοῖς ὑμῶν ἁγίοις σκάμμασι, τοῦ Ὀλύμπου, πᾶσαν τὴν περίοικον.

*Ἕτερα. Ἦχος δ΄. Ὁ ἐξ Ὑψίστου κληθείς.*

Τοὺς ἐν Ὀλύμπῳ τῆς Βιθυνίας ὄρει, ὁσίως ἐκλάμψαντας, βίου λαμπρότητι, καὶ ἀρετῶν τελειότητι, καὶ εὐσεβείας, ὁμολογίᾳ ψυχῆς στεῤῥότητι, συμφώνως τιμήσωμεν κοινοῖς ἐν ᾄσμασιν· εἰ γὰρ τοῖς χρόνοις διΐστανται, ἀλλ' οὖν ἀσκήσει, ἁγίᾳ πάντες μιᾷ διέπρεψαν· καὶ δοξασθέντες πολλαῖς χάρισι, τῷ Σωτῆρι ἀπαύστως πρεσβεύουσιν, ἱλασμὸν ἡμῖν δοῦναι, φωτισμὸν καὶ θεῖον ἔλεος.

Συντονωτάτης ἀσκήσεως ἀγῶσι, τὴν σάρκα νεκρώσαντες, σὺν τοῖς παθήμασι, τῆς ἀπαθείας ἠνέγκατε, καρποὺς πλουσίους, τὴν Ἐκκλησίαν πᾶσαν ἐκτρέφοντες, Πατέρες μακάριοι, Ἀγγέλων σύσκηνοι, τῶν χαρισμάτων τοῦ Πνεύματος, ὄργανα θεῖα, καὶ ἐναρέτου ζωῆς ἐκφάντορες· διὸ συμφώνως ὑμᾶς σήμερον, εὐφημοῦντες τοῖς πᾶσι κηρύττομεν, θεοφόροι εὐσήμως, τοὺς ἀγῶνας καὶ τὰ θαύματα.

Ἐκ διαφόρων ὁρμώμενοι πατρίδων, ἐν ὄρει ἐσπεύσατε, ἁγίῳ ἔρωτι, τῷ τοῦ Ὀλύμπου μακάριοι, τῆς Βιθυνίας, καὶ ἰσαγγέλως ἐπολιτεύσασθε, γνωστοὶ καὶ ἀνώνυμοι, καθάπερ ἄσαρκοι, ἐν διαφόροις τοῖς ἔτεσι, καὶ ἐγκρατείας, πᾶσιν ἐκφαίνετε τὴν λαμπρότητα, ἔργῳ καὶ λόγῳ θείῳ Πνεύματι,

καὶ θαυμάτων δυνάμει ἑκάστοτε, καὶ ποικίλαις ἐν κόσμῳ, ἀντιλήψεσι καὶ χάρισι.

*Δόξα. Ἦχος πλ. β΄.*

Σήμερον, ὡς ἀστέρες φαεινοί, τῷ τῆς Ἐκκλησίας στερεώματι ἀνέτειλαν, οἱ ἐν Ὀλύμπῳ τῆς Βιθυνίας, Ὅσιοι Πατέρες. Τῷ γὰρ Ἡλίῳ τῆς ζωῆς, ἀμέμπτως δουλεύσαντες, τῶν ἀρετῶν τῷ φωτὶ καταυγάζουσι, τοὺς βοῶντας αὐτοῖς· χαίρετε, ἡ τὴν βροτείαν φύσιν λαθόντες, καὶ ὑπερφυῶς ἀγωνισάμενοι, συντόνῳ ἀσκήσει· χαίρετε, οἱ τὴν χάριν τοῦ Παρακλήτου δεξάμενοι, καὶ ποικιλοτρόπως εὐεργετήσαντες, τὸν περιούσιον λαὸν τοῦ Θεοῦ· χαίρετε, Ὄρους Ὀλύμπου οἰκηταί, Βιθυνίας λύχνοι, καὶ πάσης Ἐκκλησίας ἀειφεγγεῖς φωστῆρες. Πρεσβεύσατε πρὸς Κύριον, σκότους παθῶν λυτροῦσθαι, τοὺς ὑμᾶς γεραίροντας.

*Καὶ νῦν. Θεοτοκίον.*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. γ' 1).*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ

ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ’ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ’ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ζ' 7).*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ε' 15).*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

*Λιτή. Ἦχος α'.*

Εὐφραίνου ἐν Κυρίῳ, ὁ ἐν Βιθυνίᾳ Ὄλυμπος, ἁγιασθεὶς ἁγίοις καμάτοις, καὶ ἱεροῖς ἱδρῶσιν ἀρδευθείς, θεοφόρων Πατέρων· ἐν σοὶ γὰρ ἠγωνίσατο, πληθὺς Ὁσίων Ἀσκητῶν, τὸν καλὸν τῆς ἀρετῆς ἀγῶνα, ὑπερβάντες τοὺς ὅρους τῆς φύσεως, ἐν τῇ ἑνώσει τοῦ κρείττονος. Καὶ ἐν τοῖς χώροις καὶ ὑπωρείαις σου, ὡς ἄνθη ἀμάραντα ἀνθήσαντες, τῆς αἰωνίου

ζωῆς τῇ ὀσμῇ, ἡμᾶς κατευφραίνουσιν· ὅθεν τούτους ὁμοῦ τιμῶντες, ὡς ὁμαίμονας τῷ πνεύματι, τῷ Σωτῆρι βοῶμεν· πρεσβείαις Κύριε τῶν Ὁσίων Σου, σῶσον τὰς ψυχὰς ἡμῶν.

*Ἦχος β΄.*

Τῶν θεοφόρων Πατέρων τὸν σύλλογον, τοὺς ἀσκητικῶς Θεῷ εὐαρεστήσαντας, ποικίλης ἀρετῆς τοῖς τρόποις, ἐν Ὀλύμπῳ τῷ ὄρει, ὕμνοις καὶ ᾠδαῖς εὐφημήσωμεν. Τῆς γὰρ ἀπάτης τοῦ κόσμου, ὁλοτρόπως χωρισθέντες, ὑπερκόσμιοι ὤφθησαν, ἐναρέτου πολιτείας ἐπιδόσεσι. Καὶ ἐν μοναῖς καὶ σπηλαίοις τοῦ ὄρους ὡς Ἄγγελοι ζήσαντες, ἀγγελικῶν δωρεῶν ἐπλήσθησαν, ἀνακαθάραντες τὸν νοῦν, καὶ πάντας ἡμᾶς παιδεύουσι, τὰ ἄνω φρονεῖν καὶ ζητεῖν, καὶ τῶν φθαρτῶν ὑπερφρονεῖν. Ἀλλ' ὦ Πατέρες μακάριοι, Ὅσιοι καὶ Ἀσκηταί, Ὁμολογηταὶ καὶ Ἱεράρχαι, ἀπαύστως πρεσβεύετε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος γ΄.*

Ὡς πυρσοὶ ἀειφανεῖς, ἐξ ὄρους ὑψηλῆς πολιτείας, ἐκ τοῦ ὄρους Ὀλύμπου, πᾶσαν τὴν γῆν πυρσεύετε, Ὅσιοι Πατέρες μακάριοι, καὶ πρὸς λιμένας γαληνοὺς τοῦ θείου θελήματος ἰθύνετε, τοὺς ἐν θαλάσσῃ τοῦ βίου χειμαζόμενους. Πᾶσι γὰρ παρέχετε, πρὸς σωτηρίαν ἀφορμάς, καὶ ὑποτύπωσιν ζωῆς ἁγίας, καὶ ἀρετῆς ἐπίδοσιν, καὶ καρτερίαν ἐν ταῖς θλίψεσι, τῷ οἰκείῳ ὑποδείγματι· ὁδηγοὶ γὰρ πάντων ὤφθητε, καὶ ὑποφῆται καὶ ἀλεῖπται πρὸς τὰ κρείττονα, τῶν ἀπαύστως βοώντων· Κύριε δόξα Σοι.

*Ἦχος δ΄.*

Τῆς ἀσκητικῆς πολιτείας τὸν δίαυλον ἀνύσαντες, τῆς οὐρανίου Βασιλείας κληρονόμοι γεγόνατε, πάντες οἱ Ὅσιοι Πατέρες, οἱ ἐν Ὀλύμπῳ τῆς Ἑώας ἀσκήσαντες. Καιρῷ ἰδίῳ γὰρ ἕκαστος, ἀνενδότῳ καρδίᾳ ἀγωνισάμενος, τὸ βραβεῖον τῆς ἄνω κλήσεως, παρὰ Χριστοῦ ἐκομίσατο. Καὶ πάντες

ὁμοῦ δοξασθέντες, εἰς μίαν χορείαν συνήφθητε, ὡς σύμψυχοι τῷ βίῳ, καὶ σύσκηνοι τῆς ἄνω δόξης. Ἀλλ’ ὡς ἔχοντες παῤῥησίαν πρὸς Χριστόν, μὴ διαλίπητε πρεσβεύοντες, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Δόξα. Ὁ αὐτός.*

Τὴν τρισύνθετον χορείαν, τὴν ἐξ Ὁσίων, Ἱεραρχῶν καὶ Ὁμολογητῶν συγκειμένην. Τοὺς ἐν Ὀλύμπῳ τῆς Βιθυνίας θεοφόρους Πατέρας, ᾀσματικοῖς ἐπαίνοις καταστέψωμεν. Διαφόροις γὰρ χρόνοις, καὶ ποικίλοις ἀγῶσι Θεὸν δοξάσαντες, παρ’ Αὐτοῦ λαμπρῶς ἐδοξάσθησαν, σημείοις καὶ θαύμασι, καὶ Πνεύματος Ἁγίου μερισμοῖς, ἀπαύστως πρεσβεύοντες, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἐκ παντοίων κινδύνων τοὺς δούλους Σου φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα Σὲ δοξάζομεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, ἡ τῶν Ὁσίων πληθύς, ὄρους Ὀλύμπου οἱ κατάκαρποι φοίνικες, ἁπάσης τῆς Βιθυνίας, φωταγωγοὶ θαυμαστοί, ἀρετῶν παντοίων τὰ κειμήλια, ἀστέρες πολύφωτοι, ἐγκρατείας καὶ χάριτος, τῆς ἀπαθείας, θησαυροὶ οἱ οὐράνιοι, θείου Πνεύματος, θεοκίνητα ὄργανα, κλήματα τὰ κατάκαρπα, τὰ κόσμῳ περκάζοντα, τῆς ἀφθαρσίας τὸν βότρυν, τὸν τὰς καρδίας εὐφραίνοντα· Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

*Στ.: Καυχήσονται Ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.*

Χαίροις, ἡ τῶν Ὁσίων πληθύς, τῆς ἰσαγγέλου πολιτείας γεώργια, λειμῶνες ὁσίου βίου, τῆς αἰωνίου ζωῆς, ἅπασι τὰ

ἄνθη προβαλλόμενοι, δοχεῖα πολύτιμα, δωρεῶν θείου Πνεύματος, τῆς Ἐκκλησίας, ἀῤῥαγῆ ἑδραιώματα, ὡς θεράποντες, τοῦ Χριστοῦ ἐνθεώτατοι, λύχνοι ἀειλαμπέστατοι, ἠθῶν τῆς ἀσκήσεως, τῆς ταπεινώσεως τύποι, τῆς εὐσεβείας αἱ σάλπιγγες· Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

*Στ.: ᾌσατε τῷ Κυρίῳ ᾆσμα καινόν.*

Χαίροις, ἡ τῶν Ὁσίων πληθύς, οἱ τῇ ἀγάπῃ τοῦ Χριστοῦ τιτρωσκόμενοι, καὶ πάντα λιπόντες κόσμον, καὶ τὰ ἐν κόσμῳ τερπνά, καὶ Σταυρὸν τὸν θεῖον ὅπλον φέροντες, προθύμως ἐδράμετε, διαφόροις ἐν ἔτεσι, τῆς Βιθυνίας, τῷ Ὀλύμπῳ καὶ ἄσαρκοι, μετὰ σώματος, τῇ ἀσκήσει ὡράθητε, Ὅσιοι παμμακάριστοι, γνωστοὶ καὶ ἀνώνυμοι, τῶν μοναζόντων ἀλεῖπται, καὶ ὑποφῆται θεόληπτοι, Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τῆς ἐγκρατείας τῷ πυρί, τὸ γεηρὸν ἀναλώσαντες φρόνημα, τοῦ Παρακλήτου τὴν ἔλλαμψιν ἐδέξασθε, Πατέρες μακάριοι. Καὶ ὡς λαμπάδες φαειναί, πάσης ἀρετῆς, δι’ ἀσκητικῶν ἀγώνων ὤφθητε, ὡς ξένοι καὶ πάροικοι, τῶν ἐν κόσμῳ πραγμάτων· ἐν Ὀλύμπῳ γὰρ σκηνώσαντες τῷ ὄρει, πρὸς ὄρη Δαβιτικῶς αἰώνια, τὸν νοῦν ὑψώσατε, διὰ θεωρίας καὶ πράξεως. Καὶ νῦν τῆς δόξης τοῦ Χριστοῦ τρυφῶντες, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Τοὺς ἐν ὄρει Ὀλύμπῳ Βιθυνίας ἐκλάμψαντας, δι' ἀσκητικῆς πολιτείας, διαφόροις ἐν ἔτεσιν, Ὁσίους θεοφόρους ἀσκητάς, γνωστοὺς καὶ ἀνωνύμους ἐν ᾠδαῖς, ἀνυμνήσωμεν ὡς σκεύη τῶν ἀρετῶν, ἀπὸ ψυχῆς κραυγάζοντες· δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι δι' ὑμῶν, πᾶσιν ἰάματα.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

*Ἀπόλυσις.*

## **ΟΡΘΡΟΣ**

*Μετὰ την α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Χορὸς θεοειδής, θεοφόρων Πατέρων, ἐκλάμπει τοῖς ἐν γῇ, δι' ἀσκήσεως πόνων, καὶ ἅπαντας προτρέπεται, πρὸς ἑόρτιον αἴνεσιν, ὧν γεραίροντες, τὴν ἀξιέπαινον μνήμην, μεγαλύνωμεν, Χριστὸν τὸν πάντων Σωτῆρα, τὸν τούτους δοξάσαντα.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Χριστὸν τὸν ἐκ τῶν Σῶν, παναγίων αἱμάτων, τεχθέντα δι' ἡμᾶς, ἀπορρήτως Παρθένε, ἀπαύστως καθικέτευε, δοῦναι πᾶσι συγχώρησιν, ὧν ἡμάρτομεν, γνώσει ὁμοῦ καὶ ἀγνοίᾳ, καὶ τυχεῖν ἡμᾶς, τῆς οὐρανῶν Βασιλείας, δι' ἄφατον ἔλεος.

*Μετὰ την β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ἐν ὄρει σκηνώματος τῆς Βιθυνίας σοφοί, τὸν νοῦν ἀνυψώσατε δι' ἐναρέτου ζωῆς, πρὸς ὄρη αἰώνια· πάντων γὰρ τῶν ἐνύλων, παριδόντες ἐμφρόνως, ὤφθητε τῶν Ἀγγέλων, μιμηταὶ ἐν τῷ βίῳ, Πατέρες θεοφόροι, ἡμῶν πρέσβεις πρὸς Κύριον.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τὸν νοῦν μου ἀπόπλυνον ῥείθροις τῶν Σῶν οἰκτιρμῶν, Παρθένε πανάμωμε τὸν μολυνθέντα δεινῶς, ἐννοίαις τοῦ ὄφεως· ῥῦσαι δὲ τὴν ψυχήν μου, λογισμῶν τῶν ἐκτόπων, δάκρυα μετανοίας, χορηγοῦσά μοι Κόρη, πρὸς Σὲ γὰρ Θεοτόκε, προσπίπτω ὁ δείλαιος.

*Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Τῶν Ἀγγέλων ζηλώσαντες τὴν ζωήν, ὑπὲρ φύσιν ἀγῶνας ἐπὶ τῆς γῆς, προθύμως ἠνύσατε, οὐρανίῳ φρονήματι, καὶ ἀρετῶν δοχεῖα πολύτιμα ὤφθητε, καὶ τύποι ἐναρέτου, ζωῆς καὶ προγράμματα, ὅθεν ἐξ Ὀλύμπου, Βιθυνίας τῷ κόσμῳ, τὸ φῶς τῆς ἀσκήσεως, δαδουχεῖτε ἑκάστοτε, θεοφόροι μακάριοι, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐφημοῦσιν ἐν πίστει ὑμῶν τὰ παλαίσματα.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ἡ τὸ πῦρ τῆς Θεότητος ἐν γαστρί, συλλαβοῦσα ἀφλέκτως Κόρη ἁγνή, κατάφλεξον δέομαι, τῶν παθῶν μου τὴν ἄκανθαν, τοῖς ἄνθραξι Παρθένε, τῆς Σῆς ἀγαθότητος, καὶ μετανοίας φέγγει, τὸν νοῦν μου καταύγασον, Σοὶ γὰρ Θεοτόκε, ὁλοψύχως προστρέχω, ὡς ἂν τῆς κακώσεως, λυτρωθῶ τοῦ ἀλάστορος, ἐκ καρδίας κραυγάζω Σοι· χαῖρε

τῶν Ἀγγέλων χαρά, καὶ ἀνθρώπων πάντων καταφύγιον, τῶν πιστῶς ἀνυμνούντων τὸν ἀνέκφραστον τόκον Σου.

Οἱ Ἀναβαθμοί. Το α’ Ἀντίφωνον τοῦ δ’ ἤχου.

Προκείμενον: *Καυχήσονται Ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.*

Στ.: *Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.*

Εὐαγγέλιον Ὁσιακόν.

Ὁ Ν΄ Ψαλμός.

Δόξα: *Ταῖς τῶν Σῶν Ὁσίων...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Ὅσιοι Πατέρες, τῆς ἐν Χριστῷ ζωῆς μηδὲν προκρίναντες, παντὶ τῷ κόσμῳ ἐνεκρώθητε, ἀπεριτρέπτῳ καρδίᾳ καὶ τῶν ἐντολῶν τοῦ Κυρίου ἐργάται γενόμενοι, τῷ ξύλῳ τῆς ζωῆς ἀποκατέστητε, καλῶς τὸν ἀγῶνα τελέσαντες. Καὶ ἐν μετοχῇ τῶν αἰωνίων ἀγαθῶν γεγονότες, ἀδιαλείπτως δυσωπεῖτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἶτα οἱ Κανόνες· τῆς Θεοτόκου καὶ τῶν Ὁσίων, οὗ ἡ ἀκροστιχίς: *Τοὺς ἐν Ὀλύμπῳ μέλπω Ὁσίους. Γερασίμου.*

*ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.*

Ταῖς τῶν Ἀγγέλων συνημμένοι τάξεσι Πατέρες Ὅσιοι, οἱ ἐν τῷ Ὀλύμπῳ, Βιθυνίας λάμψαντες, τὸν νοῦν μου καταυγάσατε, ταῖς ὑμῶν ἱκεσίαις, ὅπως ὑμῶν τὴν συνέλευσιν, μέλψω τὴν ἁγίαν ἐν ᾄσμασιν.

Ὄρπηξ ἐδείχθης εὐθαλὴς τῆς χάριτος γεωργηθεὶς ταῖς χερσί, Μιχαὴλ τοῦ θείου, Πάτερ Ἀθανάσιε, καὶ φῶς ἐν Ἄθῳ ἔλαμψας, ἐγκρατείας δὲ πόνοις, παθῶν τὸν ζόφον διέλυσας, Ὅσιε παμμάκαρ Ἀντώνιε.

Ὑπὸ Θεοῦ ὁδηγηθεῖσα ἤνυσας βίον ἰσάγγελον, ἐν στολῇ ἀνδρῴᾳ, καὶ κλήσει καὶ σχήματι, Ἄννα θεομακάριστε, ἐν Μονῇ τῶν Λευκάδων, ὑπερφυῶς βιοτεύσασα, καὶ θαυμάτων χάριν πλουτήσασα.

*Θεοτοκίον.*

Σεσαρκωμένον τὸν πρὶν ὄντα ἄσαρκον Λόγον καὶ ἄναρχον, τοῦ Θεοῦ τεκοῦσα, ὑπὲρ νοῦν καὶ ἔννοιαν, τῆς ἀλογίας ἔλυσας, τῆς ἀρχαίας κατάρας, γένος ἁγνὴ τὸ ἀνθρώπινον, μόνη ἀειπάρθενε Δέσποινα.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ἐν τῷ φόβῳ Κυρίου τὴν σὴν Μονὴν ἵδρυσας, τὴν Βαθέος Ῥύακος, ὄντως Πάτερ Βασίλειε, ἐν τῇ Ἀγαύρων δέ, ἀσκητικῶς ἠγωνίσω, Ὅσιε Γρηγόριε, ψυχῆς στεῤῥότητι.

Νεκρωθεὶς τοῖς ἐν κόσμῳ ἀσκητικαῖς πράξεσι, Λιμνιῶτα ἄνθος ἐδείχθης, ζωῆς τῆς κρείττονος, Πάτερ Γεώργιε, καὶ Δανιὴλ ἐν Θασίῳ, τὸν Χριστὸν ἐδόξασας, βίου λαμπρότητι.

Οἱ ἀσκήσει τελείᾳ τῶν ἀρετῶν λάμψαντες, καὶ θαυμάτων χάριν θεόθεν, καταπλουτήσαντες, Πάτερ Εὐστράτιε, σὺν Εὐσταθίῳ τῷ θείῳ, ἐν Ἀγαύροις ὤφθητε, ἔνσαρκοι Ἄγγελοι.

*Θεοτοκίον.*

Λιμὴν ἄκλυστος πέλεις τοῖς ἐν δεινοῖς πάθεσι, περιδονουμένοις ἀθλίως, καὶ κινδυνεύουσιν, ἡμᾶς ἰθύνουσα, πρὸς σωτηρίας γαλήνην, Κόρη ἀξιοπάρθενε, τοὺς Σὲ δοξάζοντας.

*Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.*

Θεῖος ὅμιλος, σεπτῶν Ὁσίων, κόσμῳ ἔλαμψαν, ἐκ τοῦ Ὀλύμπου, τῆς Βιθυνίας ὡς ἄστρα πολύφωτα· ὅθεν αὐτῶν τὴν ἁγίαν συνέλευσιν, ὑμνολογοῦντες συμφώνως βοήσωμεν·

ἀξιάγαστοι, Χριστῷ τῷ Θεῷ πρεσβεύσατε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Σὰρξ γενόμενος, ὁ Θεὸς Λόγος, ἐξ αἱμάτων Σου, ἀνερμηνεύτως, τὸ ἀνθρώπινον ἐθέωσε φύραμα· ὅθεν πιστῶς Θεοτόκε ὑμνοῦμέν Σε, ὡς σωτηρίας αἰτίαν βοῶντές Σοι· Κόρη πάναγνε, πταισμάτων ἐξαίτει ἄφεσιν, τοῖς πίστει μεγαλύνουσι τὸν τόκον Σου.

*ᾨδὴ δ΄. Σύ μου ἰσχύς.*

Ὑπερφυῶς, ἐν τοῖς Ἀγαύροις ἠγώνισαι, θεοφόρε, Ὅσιε Εὐθύμιε, καὶ Κίου πρόεδρος ἱερός, Εὐστάθιε ὤφθης, ὁμολογίας συνήγορε, καὶ Ὅσιος καὶ Μάρτυς, ὁ Εὐστάθιος πέλει, Σακκουδίωνος θεῖον ἐγκαλλώπισμα.

Μέγας Χριστοῦ, ὤφθης θεράπων Θεόδωρε, τῆς Στουδίου, Μάνδραν ὡς ἐποίμανας, ἐκ Σακκουδίωνος προελθών, καὶ Μονῆς Τριγλίας, σοφὸς ποιμὴν Θεοδόσιε, καὶ τῆς Πελεκητῆς δέ, Θεοστήρικτε στῦλος, ὡς Εἰκόνων τῶν θείων ὑπέρμαχος.

Περιφανής, Σιγριανῆς ὦ Θεόφανες, φωστὴρ ὤφθης, ὡς σοφὸς ἐν ἅπασι, καὶ Θωμᾶς ὁ Δερφουκινός, Μονῆς Γαλολείκτου, θεοπρεπῶς καθηγήσατο, καὶ Μάνδρας τῶν Συμβόλων, καὶ τῆς τοῦ Μηδικίου, Θεοστήρικτε στήριγμα πέφηνας.

*Θεοτοκίον.*

Ὡς καθαρά, ἀπὸ αἰῶνος καὶ ἄμωμος, Θεοτόκε, μόνη ἀειπάρθενε, τῆς καθαρότητος τὴν πηγήν, ἐν γαστρὶ ἐδέξω, τὸν Θεὸν Λόγον καὶ τέτοκας, ἐν δύο ταῖς οὐσίαις, καὶ μιᾷ ὑποστάσει, ἀσυγχύτως ἀτρέπτως δι' ἔλεος.

*Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.*

Μοναστῶν τύπος ὤφθης, τῆς Βαθέος Ῥύακος Μονῆς Ἰγνάτιε, καὶ ἐν τοῖς Ὁσίοις, ὥσπερ ἥλιος μέγας ἀνέλαμψας, βίῳ ἰσαγγέλῳ, Ἰωαννίκιε τρισμάκαρ, καὶ χαρίτων μυρίων ἠξίωσαι.

Ἐν Μονῇ πρώην λάμψας, τῇ Σακκουδίωνος Ἰωσὴφ ἔνδοξε, τῆς Θεσσαλονίκης, ἀνεδείχθης ποιμὴν ἐνθεώτατος, καὶ τῆς Καθαρῶν δέ, ἁγίας Μάνδρας καθηγήσω, Ἰωάννη ὡς πλήρης ἐλλάμψεως.

Λάμπων βίῳ ἀμέμπτῳ, τῆς Πελεκητῆς ἡγήτωρ θεόληπτος, Ἱλαρίων ὤφθης, Ἀγχιάλου δὲ Πρόεδρε πέφηνας, καὶ Μονῆς Εὐνούχων, ἡγούμενος λόγῳ καὶ ἔργῳ, θεοφόρε Ἰάκωβε ἔνδοξε.

*Θεοτοκίον.*

Παναγία Παρθένε, τὴν ἐναγεστάτην ψυχήν μου τοῖς πάθεσι, κάθαρον καὶ πλῦνον, τῷ πλουσίῳ ἐλέει Σου δέομαι, καὶ τῆς ἐπηρείας, τοῦ βροτοκτόνου λύτρωσαί με, τοῦ ἀεὶ χαλεπῶς πολεμοῦντός με.

*Ὠδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.*

Ὡς λύχνος θείου φωτός, ἐν Ὑψηλῷ ὄρει ἔλαμψας, ὢ Ἱλαρίων σοφέ, ἀπὸ Ἰουδαίων δὲ Κωνσταντῖνε ἤνθησας, καὶ μέγας ἐδείχθης, ἐν Ὁσίοις τῇ ἀσκήσει σου.

Ὁ θεοφόρος Λουκᾶς, Βαθέος Ῥύακος ἥγηται, καὶ ὁ Τριγλίας Λουκᾶς, ἐνθέως δεδόξασται, καὶ Λουκᾶς ὁ Ὅσιος, ὁ νέος στυλίτης, ἐν Ἀτρώᾳ τεθαυμάστωται.

Σὺν Μάρκῳ τῷ ἱερῷ, Μονῆς Τριγλίας καυχήματι, Μακάριον τὸν κλεινόν, Πελεκητῆς στήριγμα, Μαλεΐνον μέλψωμεν, Μιχαὴλ τοῦ ὄρους, Κυμινᾶ πυρσὸν ἀκοίμητον.

*Θεοτοκίον.*

Ἰλύος τῆς τῶν παθῶν, τῇ ῥυπτικῇ ἀντιλήψει Σου, ἐκκάθαρόν μου τὸν νοῦν, καὶ φωτί με λάμπρυνον, μετανοίας Ἄχραντε, ἵνα Σὲ δοξάζω, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

*Κοντάκιον. Ἦχος γ'. Ἡ Παρθένος σήμερον.*

Εἰς τὸ ὄρος λάμψαντες, τῆς Βιθυνίας τὸ μέγα, ὃ καλεῖται Ὄλυμπος, πληθὺς Ὁσίων Πατέρων, ἤσχυναν, τοῦ ἀοράτου ἐχθροῦ τὸ κράτος, ὤφθησαν, τῶν Μοναζόντων τύποι ἐν βίῳ, καὶ ἁπάσης Ἐκκλησίας, λαμπροὶ φωστῆρες καὶ ἑδραιώματα.

*Ὁ Οἶκος.*

Ἐκ χωρῶν διαφόρων ὁρμώμενοι, ἐν Ὀλύμπῳ τῷ ὄρει ἐδράμετε καὶ Βιθυνίαν πᾶσαν ἡγιάσατε, καὶ Ἐκκλησίας τὰ πληρώματα λαμπρύνετε, φέγγει ἀρετῶν, καὶ πλούτῳ θείων δωρεῶν καὶ θαυμάτων ἁγίων δυνάμεσιν, Ὅσιοι Πατέρες παμμακάριστοι· ὑπεραρθέντες γὰρ τῶν κοσμικῶν φροντίδων καὶ ἐννοιῶν, πρὸς μεγίστους ἀσκητικοὺς ἀγῶνας ἀπεδύσασθε. Καὶ νεκρώσαντες πᾶν φρόνημα σαρκικόν, τοῖς ἀσάρκοις Ἀγγέλοις ἡμιλλήθητε· ἔνθεν ἀπαθείας ὤφθητε λειμῶνες, πάσης ἀρετῆς ἐργάται καὶ εἰκόνες, τοῦ Παρακλήτου ἐνδιαιτήματα πολύτιμα, τῆς οἰκουμένης στηρίγματα, καὶ ἁπάσης Ἐκκλησίας, λαμπροὶ φωστῆρες καὶ ἑδραιώματα.

*Συναξάριον.*

Τῇ Λ' τοῦ αὐτοῦ μηνός, μνήμη πάντων τῶν Ὁσίων Πατέρων, τῶν ἐν Ὀλύμπῳ τῆς Βιθυνίας ἀσκητικῶς διαλαμψάντων.

*Βιθυνίας χόρευε, Ὄλυμπε ὄρος,*
*ἐν σοὶ γὰρ διέλαμψαν χοροὶ Ὁσίων.*
*Πληθὺν ἀγείρει τριακοστὴ Ὁσίων, Ὀλυμπίοιο ὄρος.*

*Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.*

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ὁσιότητι λάμψας ἐν Μονῇ Χηνολάκκου Πάτερ Μεθόδιε, περίβλεπτος ἐγένου, ποιμὴν τῆς Κωνσταντίνου, καί Νικήτα Ἐπίσκοπος, ἐδείχθης παρὰ Θεοῦ, τῆς Ἀπολλωνιάδος.

Ὑπομείναντες πόνους θεοφόρε Νικήτα καὶ Νικηφόρε σοφέ, ποιμένες Μηδικίου, ὑπὲρ μορφῆς τῆς θείας, τοῦ Σωτῆρος ἐν σώματι, ὑπερκοσμίων γερῶν, ἐτύχετε ἀξίως.

Σθένει θείῳ ὑποίσας, διωγμοὺς δι' Εἰκόνα Χριστοῦ Ναυκράτιε, καὶ Παῦλε Πλουσιάδος, κινδύνοις ὁμιλήσας, θείας δόξης ἐτύχετε, καὶ αἰωνίου ζωῆς, ἐδέξασθε τὸ στέφος.

*Θεοτοκίον.*

Γαλουχήσασα Κόρη τὸν τροφέα τῶν ὅλων δι' ἀγαθότητα, Αὐτὸν ἀεὶ δυσώπει, ψυχήν μου τὴν πεινῶσαν, διαθρέψαι τῇ χάριτι, τῆς εὐδοκίας αὐτοῦ, ἵνα Σε μεγαλύνω.

*ᾨδὴ η΄. Ἑπταπλασίως κάμινον.*

Ἐν τῇ Ἀτρῴᾳ ἤσκησας, Πάτερ Πέτρε ὡς ἄσαρκος, καὶ ἐθαυμαστώθης δωρεαῖς τοῦ Πνεύματος, Μονὴν δὲ ἀνήγειρας, Παῦλε Ἀγγέλων σύσκηνε, θείῳ Ζαχαρίᾳ, ὑποφήτῃ Κυρίου, μεθ' οὗ τῆς ἄνω δόξης τρυφῶντες εἰς αἰῶνας, ὑπὲρ ἡμῶν ἀπαύστως, Χριστὸν ἐκδυσωπεῖτε

Ῥώμῃ Θεοῦ ἠρίστευσας, Πέτρε πόνοις ἀσκήσεως, καὶ Πλάτων παμμάκαρ τῆς τοῦ Σακκουδίωνος, Μονῆς ὤφθης κλέϊσμα, καὶ Στέφανε μακάριε, τὴν τοῦ Χηνολάκκου,

ᾠκοδόμησας Μάνδραν, καὶ Στέφανε θεόφρον, Μονῆς Τριγλίας κλέος, ὑπὲρ τῆς τοῦ Σωτῆρος, ἐνήθλησας Εἰκόνος.

Ἀσκητικῶς ἠγώνισαι, ἐν Ὀλύμπῳ μακάριε, καὶ τῆς Κωνσταντίνου ποιμὴν Τρύφων γέγονας, Μονὴν τῶν Συμβόλων δέ, ἐλάμπρυνας Τιμόθεε, καὶ Μάρτυς ἐδείχθης, Σακκουδίωνος θρέμμα, Τιμόθεε τρισμάκαρ, Χριστόδουλε δὲ γέρας, πάντων τῶν ἐν Ὀλύμπῳ, Ὁσίων μοναζόντων.

*Θεοτοκίον.*

Σωματικῶς ἐκύησας, τὸν ἀσώματον Κύριον, σῴζοντα Παρθένε τὸν ἔκπτωτον ἄνθρωπον, καὶ πάντας ἀνάγοντα, πρὸς δόξαν τὴν οὐράνιον, τοὺς ὡς ἀληθῆ, Θεοῦ Μητέρα ὑμνοῦντας, καὶ πίστει προσκυνοῦντας, τὴν φρικτήν Σου λοχείαν, δι’ ἧς υἱοθεσίας, ἐτύχομεν τῆς ἄνω.

*Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.*

Ἰσχὺν ἐνδεδυμένοι τὴν ἐκ Θεοῦ, ἐγυμνώσατε πάσας μακάριοι, τὰς μηχανάς, καὶ τὰς μεθοδείας τοῦ δυσμενοῦς, καὶ Ἄγγελοι ἐν σώματι, ἐν Ὀλύμπῳ ὤφθητε ἀληθῶς, Πατέρες θεοφόροι, τῆς Βιθυνίας ἄνθη, καὶ μοναζόντων ἀκροθίνια.

Μονὰς καὶ ἀσκητήρια ἱερά, ἐν Ὀλύμπῳ τῷ ὄρει ἱδρύσαντες, νεύσει Θεοῦ, καὶ ζωὴν ἰσάγγελον ἐν αὐτοῖς, ἀσκητικῶς ἀνύσαντες, Ὅσιοι Πατέρες θεοειδεῖς, γνωστοὶ σὺν ἀνωνύμοις, Ἀγγέλων συμπολῖται, μετὰ τὸ τέλος ἀνεδείχθητε.

Ὁσίων θεοφόρων θεῖος χορός, ἀσκητῶν περιώνυμε σύλλογε, ἡσυχαστῶν, ὁμολογητῶν τε στῖφος σεπτόν, Ὀλύμπου καλλωπίσματα, τοὺς ὑμᾶς τιμῶντας μνήμῃ μιᾷ, πρεσβεύετε Κυρίῳ, τυχεῖν τῆς ἄνω δόξης, καὶ τῆς ἀφράστου ἀπολαύσεως.

*Θεοτοκίον.*

Ὑπέρτερον τὸν νοῦν μου τῶν ὑλικῶν, δι’ ἀγάπης τελείας πρὸς Κύριον, δεῖξον ἁγνή, καὶ τὴν βασιλεύουσαν ἐν ἐμοί, κακίαν ἀπονέκρωσον, καὶ ἐν φόβῳ θείῳ ζῆν με πιστῶς, ἀξίωσον Παρθένε, ὡς ἂν τῆς ἄνω δόξης, ἀξιωθῶ τῇ μεσιτείᾳ Σου.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Ὁσίων περιώνυμε, χορεία καὶ ὑπέρτιμε, οἱ ἐν Ὀλύμπῳ τῷ ὄρει, ἐκλάμψαντες ἰσαγγέλως, ἐν διαφόροις ἔτεσι, Πατέρες παμμακάριστοι, καὶ τὸν Χριστὸν δοξάσαντες, ὑπὲρ ἡμῶν δυσωπεῖτε, τὴν Παναγίαν Τριάδα.

*Θεοτοκίον.*

Μαρία ἀειπάρθενε, Χριστιανῶν προσφύγιον, ἁμαρτωλῶν προστασία, καὶ θλιβομένων ἡ ῥύστις, τῆς συνεχούσης θλίψεως, τὸν νοῦν μου ῥῦσαι δέομαι, καὶ χαρμονὴν οὐράνιον, παράσχου ἐν τῇ ψυχῇ μου, παθῶν ἐλαύνουσαν νέφος.

*Αἶνοι. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Τῶν ἐν Ὀλύμπῳ Πατέρων καὶ ἀσκητῶν τοῦ Χριστοῦ, τὴν φωτοφόρον μνήμην, ἑορτάσωμεν πάντες· ὡς Ἄγγελοι γὰρ οὗτοι ἐπὶ τῆς γῆς, μετὰ σώματος ὤφθησαν, καὶ σὺν Ἀγγέλοις ἀπαύστως ἐν οὐρανοῖς, δυσωποῦσι τοῦ σωθῆναι ἡμᾶς.

Τῆς Βιθυνίας τὸ μέγα ὄρος ὁ Ὄλυμπος, ὑμῶν ἁγίοις πόνοις, ἡγιάσθη Πατέρες, καὶ πᾶσα Ἐκκλησία ἡ τοῦ Χριστοῦ, τοῖς ὑμῶν κατορθώμασι, σεμνυνομένη γεραίρει ᾀσματικῶς, τὴν λαμπρὰν ὑμῶν συνέλευσιν.

Δι’ ἐγκρατείας συντόνου Πατέρες Ὅσιοι, καὶ στάσεσι παννύχοις, καὶ δακρύων τοῖς ῥείθροις, καθάραντες τὸ σῶμα

καὶ τὴν ψυχήν, πρὸς Θεὸν ἀνυψώθητε, τῶν μακαρίων ἐπάθλων τὰς ἀμοιβάς, πλουτοδότως κομιζόμενοι.

Ταῖς ὑπερφώτους ἀκτῖσι καταλαμπόμενοι, τῆς παντουργοῦ Τριάδος, θεοφόροι Πατέρες, πρεσβεύετε ἀπαύστως ὑπὲρ ἡμῶν, πάσης λύεσθαι θλίψεως, καὶ μετασχεῖν Βασιλείας τῶν οὐρανῶν, τοὺς ὑμᾶς ὁμοῦ γεραίροντας.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τῶν Ὁσίων Πατέρων ὁ χορός, ἐν τῷ τῆς Βιθυνίας Ὀλύμπῳ συνδραμών, ὑπῆλθεν ἀνενδότῳ διανοίᾳ, ζωὴν τὴν θείαν, δι᾽ ἀσκήσεως ἀγώνων. Καὶ τὴν λαμπρότητα τῆς ἀπαθείας, ἡμῖν ἐκφαίνει διὰ θαυμάτων. Οὓς εὐφημοῦντες ἐν πίστει, μακαρίσωμεν λέγοντες· Ὢ σύστημα ἱερόν, θεοφόροι πολῖται, τῆς ἄνω Βασιλείας· φωστῆρες ἀείφωτοι, ἀσκητικῶν ἐπιδόσεως· τῶν θεϊκῶν δωρεῶν τὰ πολύτιμα σκεύη· τὰ ἡδύπνευστα κρίνα τῆς ἐγκρατείας· εἰκόνες καὶ τύποι τῶν μοναζόντων· Βιθυνίας καυχήματα, Ἐκκλησίας στηρίγματα, ἐκτενῶς πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Χαίρετε Ὀλύμπου λύχνοι λαμπροί, Ὅσιοι Πατέρες, οἱ ἀνώνυμοι καὶ γνωστοί, χαίρετε δοχεῖα, φωτὸς ἐπουρανίου, καὶ πρέσβεις ἡμῶν πάντων, πρὸς τὸν Φιλάνθρωπον.


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ